καὶ δὲ τῶν ἰδίων τῆς τοῦ ♃. ὑπόκιρρα δὲ τῶν ἰδίων τῆς τοῦ ♂. ξανθὰ δὲ, τῶν ἰδίων τῆς τῆς ♀. ποικίλα δὲ τῶν ἰδίων τῆς τοῦ ☿. κἂν μὲν ἐν ὅλοις τοῖς σώμασι τῶν φώτων, ἢ ἐν ὅλοις τοῖς περὶ αὐτὰ τόποις τὸ γινόμενον ἰδίωμα τῆς χροιᾶς φαίνηται, περὶ τὰ πλεῖστα μέρη τῶν χωρῶν ἔσται τὸ ἀποτελεσθησόμενον, ἐὰν δὲ ἀπὸ μέρους ὁποιουδήποτε, περὶ ἐκεῖνο τὸ μέρος, ἐὰν ᾖ ἡ πρόσνευσις τοῦ ἰδιώματος γίνηται. τηρητέον δὲ ἔτι, καὶ τὰς συνισταμένας ἤτοι κατὰ τοὺς ἐκλειπτικοὺς καιροὺς, ἢ καὶ ὁτεδήποτε, κομήτων ἐπιφανείας πρὸς τὰς καθόλου περιστάσεις, οἷον τῶν καλουμένων δοκίδων ἢ σαλπίγγων ἢ πίθων ἢ τῶν τοιούτων, ὡς ἀποτελεσματικὰς μὲν φύσει τῶν ἰδίων τῷ ♂ καὶ τῶν τοῦ ☿ ἰδιωμάτων πολέμων τε καὶ καυσώνων, ἢ κινητικῶν καταστημάτων, καὶ τῶν τούτοις ἐπισυμβαινόντων. δηλούσας δὲ διὰ μὲν τῶν τοῦ ζωδιακοῦ μερῶν καθ' ὧν ἂν αἱ συστάσεις αὐτῶν φαίνωνται, καὶ τῶν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων, τοὺς τόπους οἷς ἐπισκήπτουσι τὰ συμπτώματα. διὰ δὲ τῶν αὐτῆς τῆς συστάσεως καὶ ὥσπερ μορφώσεων, τό, τε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος, περὶ ὃ τὸ πάθος ἀποβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν παράτασιν τῶν συμπτωμάτων, διὰ δὲ τῆς πρὸς τὸν ☉ σχέσεως τὴν καταρχήν, ἐπεὶ περ ἑῷοι μὲν ἐπὶ πολὺ φαινόμενοι, τάχιον ἐπισημαίνουσιν ἑσπέριοι δὲ βράδιον.

## Περὶ τῆς τοῦ ἔτους νουμηνίας.

Διῃρημένης δὲ τῆς περὶ τὰς καθόλου περιστάσεις, χωρῶν τε καὶ πόλεων ἐφόδου, λοιπὸν ἂν εἴη καὶ περὶ τῶν λεπτομερεστέρων ὑπομνηματίσασθαι, λέγω δὲ τῶν ἐνιαυσιαίως περὶ τὰς ὥρας ἀποτελουμένων, πρὸς ἣν ἐπίσκεψιν, καὶ περὶ τῆς καλουμένης τοῦ ἔτους νεομηνίας ἁρμόζον ἂν εἴη προδιαλαβεῖν. ὅτι μὲν οὖν ταύτην ἀρχὴν εἶναι προσήκει τῆς τοῦ ☉ καθ' ἑκάστην περιστροφὴν ἀποκαταστάσεως, δῆλόν ἐστιν αὐτόθεν, καὶ ἀπὸ τῆς δυνάμεως καὶ ἀπὸ τῆς ὀνομασίας. τίνα δ' ἄν τις ἀρχὴν ὑποστήσαιτο ἐν κύκλῳ μὲν αὐτὸ μόνον ἁπλῶς οὐδ' ἂν ἐπινοήσειεν, ἐν δὲ τῷ διὰ μέσων τῶν ζῳδίων μόνας ἂν εἰκότως ἀρχὰς λάβοι τὰ ὑπὸ τοῦ ἰσημερινοῦ καὶ τῶν τροπικῶν ἀφοριζόμενα σημεῖα, τουτέστι τά τε δύο ἰσημερινὰ καὶ τὰ δύο τροπικά. ἐν τούτοις μέντοι τις ἀπορήσειεν ἂν ἤδη, τίνι τῶν τεσσάρων ὡς προηγουμένῳ χρήσαιτο. κατὰ μὲν οὖν τὴν ἁπλῆν καὶ κυκλικὴν φύσιν οὐδὲν αὐτῶν ἐστιν ὡς ἐπὶ μιᾶς ἀρχῆς προηγούμενον κέχρηνται δὲ οἱ περὶ τούτων γράψαντες ἑνί τινι, ὑποτιθέμενοι διαφόρως ἑ-

κάστῳ τῶν